## *ΑΡΤΟΞΕΡΞΗΣ*

D 1. *Ἀρτοξέρξης ὁ Ξέρξου, ὁ μακρόχειρ προσαγορευθεὶς διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν ὅτι τὸ προσθεῖναι τοῦ ἀφελεῖν βασιλικώτερόν ἐστι.*

2. *Πρῶτος δὲ πρωτοβολεῖν ἐκέλευσε τῶν συγκυνηγετούντων τοὺς δυναμένους καὶ βουλομένους.*

3. *Πρῶτος δὲ τοῖς ἁμαρτάνουσι τῶν ἡγεμονικῶν τιμωρίαν ἔταξεν, ἀντὶ τοῦ τὸ σῶμα μαστιγοῦσθαι καὶ τὴν κεφαλὴν ἀποτίλλεσθαι μαστιγοῦσθαι μὲν ἀποδυσαμένων τὰ ἱμάτια, τίλλεσθαι δὲ τὴν τιάραν ἀποθεμένων.*

4. *Σατιβαρζάνην δὲ τὸν κατακοιμιστὴν αἰτούμενόν τι παρ᾽ αὐτοῦ τῶν μὴ δικαίων αἰσθόμενος ἐπὶ τρισμυρίοις*
E *δαρεικοῖς τοῦτο ποιοῦντα, προσέταξε τῷ ταμίᾳ τρισμυρίους δαρεικοὺς κομίσαι· καὶ διδοὺς αὐτῷ 'λάβε' εἶπεν 'ὦ Σατιβαρζάνη· ταῦτα μὲν γὰρ δοὺς οὐκ ἔσομαι πενέστερος, ἐκεῖνα δὲ πράξας ἀδικώτερος.'*

## *ΚΥΡΟΣ Ο ΝΕΩΤΕΡΟΣ*

*Κῦρος ὁ νεώτερος τοὺς Λακεδαιμονίους συμμαχεῖν αὐτῷ παρακαλῶν ἔλεγε τοῦ ἀδελφοῦ καρδίαν ἔχειν βαρυ-*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/13 UNIVERSITÄT LEIPZIG